# TEZAUR LITURGIC

## 24 SEPTEMBRIE

ANTONIOS MARKOU

# SLUJBA SF.CUVIOASE TARSO DE LA KERATEAS

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 24 Σεπτεμβρίου

# Ἀκολουθία Ὁσίας ΤΑΡΣΩΣ τῆς ἐν Κερατέᾳ, τῆς διά Χριστόν Σαλῆς

## Ποίημα Ἀντώνίος Μάρκου

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ταρσῶς τῆς θείας τήν ἔξοδον* ἐκ τοῦ κόσμου ὑμνήσωμεν,* ταύτης τε τήν εἴσοδον* εἰς Βασιλείαν Θεοῦ,* πανηγυρίσωμεν ἄσμασι* πιστοί καί βοήσωμεν·* σύ ὑπάρχεις ἀληθῶς τῶν Ὁσίων ἀγλάϊσμα,* ὡς καί τῶν Σαλῶν* στολισμός καί τιμή καί ὡραιότης,* Ταρσώ Μῆτερ, ὁ τῆς Ἄνδρου,* κλεινός βλαστός τε καί καύχημα.

Ἑλληνίς πᾶσα χαίρεται* γῆ καί θαυμάζει κηρύττουσα,* Ταρσῶς τῆς θεόφρονος τήν τελείωσιν·* ὁσιακῶς γάρ ἐβίωσεν* ἐν ὑπαίθρῳ, τήν στενήν* τοῦ Κυρίου βαδίσασα* ὁδόν,

πτωχείᾳ νοός καί ταπεινώσει,*
τῶν Σαλῶν ἀσπασαμένη* βίον τόν ἔξηχον κρίνασα.

Τῆς ζωῆς τό ἐφήμερον*
καί τοῦ κόσμου τό ἀσταθές,*
πᾶσαν ἀνθρωπίνης τε ζωῆς μικρότητα,*
Ταρσώ ἡ θεία νοήσασα,*
τοῦ κόσμου ἐμάκρυνε* καί τῶν τούτου ἡδονῶν* καί ἐνοίκησε* ἐν καλύβῃ σμικρᾷ,
ταπεινωτάτην* ἀσκητῶν ζωήν τήν θείαν,* ἀκολουθῆσαι θελήσασα.

Κερατέας σεμνύνεται* θεία Μονή ὡς κατέχουσα,* Ταρσῶς τῆς θεόφρονος θεῖα Λείψανα,*
ὡς καί τήν Κάραν τήν πάντιμον,*
πρός ἅ νῦν προστρέχουσι* Ὀρθοδόξων οἱ χοροί,*
ἐπισκέψεως θείας τε*
καί ἀφέσεως* τυχεῖν παρά τοῦ Δεσπότου,* ἱκεσίαις καί πρεσβείαις* τῆς ἐν σαλότητι δούλης Του.

Παντοκράτορος Μάνδρα τε* τῷ σῷ λειψάνῳ σεμνύνεται,* πρός ἥν Κερκύρας σύμπασα πιστῶν ὁμήγυρις* ἐν εὐφροσύνῃ προστρέχει νῦν* ποθοῦσα ἀσπάσασθαι* σιαγόνα σήν σεπτήν* εὐωδίαν προχέουσα* παραδείσιαν,* τήν δηλοῦσαν οὕτω τήν σήν χάριν,* ἥν σοί δέδωκεν Δεσπότης,* Ταρσώ Ὁσία, καί Κύριος.

Μετά χαρᾶς μιμνησκόμεθα* σήν παρουσίαν ἐν σώματι* ἐν τῷ ἄλσει γύροθεν τῆς Κερατέας Μονῆς,* ἐν

ᾧ ὡς στρουθίον μονώτατον* ἐξήχως ἐβίωσας* ἐνδεδυμένη τήν στολήν* τῆς ἐν Κυρίῳ σαλότητος,* ἤτοι ῥάκεσι,* δι’ ὧν ἤστραψας, ὡς ἐν τῇ προρφύρᾳ* βασιλέως Σολομῶντος* ἐνδεδυμένου ἐν δόξῃ του.

Δόξα. Ἦχος πλ. α΄.

Ἀσκητικῶς ἀγωνισαμένη,*
τοῦ ἀλλάστορος καθεῖλες τό φρύαγμα,*
διά τῆς ἄνωθεν δυνάμεως,* τῆς τοῦ Πνεύματος, ἀξιάγαστε.* Ἀπτόητον γάρ τό φρόνημα,* ἐν τῷ καιρῷ τῷ τῶν ἀγώνων ἐπεδείξω,* καλύβης προκρίνας* εὐαρεστωτέραν Θεῷ τήν πιωχείαν* ἤ κόσμου τήν τιμήν τε καί εὐπρέπειαν.*
Διό ἁγιότητος ἐδέχθης στέφανον* καί αἰωνίου δόξ ης ἠξίωσαι,* Ταρσώ ἀξιομακάριστε·* ὅθεν πρεσβεύεις ὑπέρ ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Μήτηρ Θεοῦ Παναγία,* τό τεῖχος τῶν Χριστιανῶν,*
ῥῦσαι λαόν Σου συνήθως* κραυγάζοντά Σοι ἐκτεν ῶς·* ἀντιτάχθητι αἰσχροῖς καί ἀλαζόσι λογισμοῖς,* ἵνα βοῶμεν Σοι· χαῖρε Ἀειπάρθενε.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Παροιμιῶν τό Ἀνάγνωσμα (Κεφ. λα΄ 10-31).

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ᾽ αὐτῇ ἡ καρδία τοῦ ἀνδρός αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ γάρ τῷ ἀνδρὶ ἀγαθά πάντα τόν βίον. Μηρυομένη ἔρια καί λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσίν αὐτῆς. Ἐγένετο ὡσεί ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δέ αὕτη τόν βίον καί ἀνίσταται ἐκ νυκτῶν καί ἔδωκε βρώματα τῷ οἴκῳ καί ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπό δέ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τήν ὀσφύν αὐτῆς, ἤρεισε τούς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τό ἐργάζεσθαι καί οὐκ ἀποσβέννυται ὅλην τήν νύκτα ὁ λύχνος αὐτῆς. Τούς πήχεις αὐτῆς ἐκτείνει ἐπί τά συμφέροντα, τάς δέ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δέ αὐτῆς διήνοιξε πένητι, καρπόν δέ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνήρ αὐτῆς, ὅταν πού χρονίζῃ· πάντες γάρ οἱ παρ᾽ αὐτῆς ἐνδεδυμένοι βύσσου καί πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δέ ἐγένετο ὁ ἀνήρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετά τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καί ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δέ τοῖς Χαναναίοις. Ἰσχύν καί εὐπρέπειαν ἐνεδύσατο καί εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

## Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα (Κεφ. ζ΄7-15).

Δίκαιος, ἐάν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γάρ τίμιον, οὐ τό πολυχρόνιον, οὐδέ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιά δέ ἐστι φρόνησις ἀνθρώποις καί ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καί ζῶν μεταξύ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μή κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχήν αὐτοῦ· βασκανία γάρ φαυλότητος ἀμαυροῖ τά καλά καί ῥεμβασμός ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθείς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστή γάρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διά τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δέ λαοί ἰδόντες καί μή νοήσαντες, μηδέ θέντες ἐπί διανοίᾳ τό τοιοῦτον, ὅτι χάρις καί ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

## Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα (Κεφ.ε΄15 - στ΄3).

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι καί ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν παρά Ὑψίστου. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτούς καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τόν ζῆλον Αὐτοῦ καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καί περιθήσεται κόρυθα, κρῖσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δέ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν·

συνεκπολεμήσει δέ Αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καί ὡς ἀπό εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπί σκοπόν ἁλοῦνται καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καί ὡς λαίλαψ ἐκλικμήσει αὐτούς καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καί σύνετε· μάθετε δικασταί περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καί οἱ γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν καί ἡ δυναστεία παρά Ὑψίστου.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Ἁγιοτόκου πατρίδος,* τῆς εὐάνδρου Ἄνδρου,* καί Ἑλληνίδος γῆς,* θεῖον βλάστημα, Ταρσῷ μακαρία,*τυγχάνεις καί καύχημα·* Κερατέ ας δέ
Μονή καυχᾶται,* ὡς σή ἀσκητική παλαίστρα,*
ἐν ᾗ ἡγιάσθης* καί τόν τόπον ἡγίασας,* θεληματικῇ μωρίᾳ* καί ἐπιλάστῳ
σαλότητι ἀγωνισαμένη.* Ὅθεν χαίρει ἐπί σοί* Ὀρθοδόξων τό σύστη-
μα* καί γηθοσύνως βοᾷ σοι·* μνήσθητι, Μῆτερ, ἐν Παραδείσῳ,* πάντων τῶν τιμώντων τήν μνήμην Σου.

Ἦχος β΄.

Ἀγάλλου ἐν Κυρίῳ* καί τέρπου ἡ τῆς Θεοτόκ ου Μονή,*
Ταρσώ τήν Σαλήν* ὡς θησαυρόν πλουτοῦσα·*
ἐν σοί γάρ ἠγωνίσατο,* τῇ εὐλογίᾳ Ματθαίου τοῦ Πατρός ἑπομένη,* τόν σταυρόν τῆς σαλότητος* ἐπ' ὤμων ἄρασα·* δι' οὗ τοῦ Βελίαρ* τάς τέχνας κατ επάτησε* καί κόσμου τήν τερπνότητα καί ἡδονήν ,* τῇ ἐσχάτῃ ταπεινώσει καί μωρίᾳ.*
Τήν πάντιμον οὖν αὐτῆς κάραν κυκλοῦντες,*
τῷ Σωτῆρι ἐν δάκρυσι βοήσωμεν·*
Παντελεῆμον Κύριε,* πρεσβείαις τῆς Σῆς Ὁσίας,* λύτρωσαι τόν λαόν Σου,* τόν πειρασμοῖς καταπον τούμενον.

Ἦχος γ΄.

Οὐράνιοι Ἄγγελοι σήμερον,*
σύν πᾶσι τοῖς Ἁγίοις,*
μετά τῆς ἐπί γῆς Ἐκκλησίας συνεφραίνονται,*
Ταρσῶς τούς ἀσκητικούς τιμῶντες ἀγῶνας.*
Ὄντως πολύαθλον,* Μῆτερ, σοῦ τό σῶμα,*
εἰ καί μαρτυρίου στίγματα οὐ φέρει.*
Διό εὐωδίᾳ ἐπεβράβευσεν αὐτῷ ὁ Κύριος,*
πᾶσαν δαιμονικήν ἀπελαύνουσαν ἐνέργειαν.*
Ἀξιοχρέως οὖν βοῶμεν σοι·* μέμνησω, Μῆτερ, τῶν τιμώντων* τήν μνήμην σου τήν ἀξιοσέ βαστον.

Ἦχος δ΄.

Μαρτυρίου τήν ὁδόν διήνυσας,* ἐν ψύχει καί καύματι ἐκτεθειμένη* καί ἐν ὑπαίθ ρῳ ὡς ἄοικος μένουσα·* τήν τιμήν γάρ τῶν ἀνθρ ώπων,* ὡς ἀτιμίαν ἡγησαμένη,* τήν ἐν Χριστῷ ἀτιμίαν,* ὡς τιμήν ὑψίστην προέκρ ινας·* διό καί ἐν οὐρανῷ τιμῶν κατηξιώθης* καί ἐν τῇ γῇ ὑπό πάν των* τιμή σοί ἀποδίδοται.* Τιμῆς τῆς οὐρανίου οὖν* καί ἡμᾶς ἀξίωσον,* πρεσβεύουσα τῷ Δωρεωδότῃ,* ἐλεηθῆναι καί σωθῆ ναι τάς ψυχάς ἡμῶν.

Δόξα. Ἦχος πλ. α΄.

Σήμερον συγκαλεῖται ἡμᾶς,* Ταρσῶς τῆς διά Χριστόν Σαλῆς* ἡ ἐνιαύσιος πανήγυρις.* Δεῦτε οὖν φιλέορτοι πιστοί,* φαιδρῶς ἑορτάσωμεν* αὐτῆς τήν μνήμην κράζοντες.* Χαίροις, Μῆτερ,* Ὁσίων καλλονή* καί Δικαίων καύχημα,* Μεσογαίας ἡ πολιοῦχος* καί Ἑλλάδος ἁπάσης τό καταφύγιον·* χαίροις, ἡ τήν τοῦ Παύλου φωνήν,* *ἡμεῖς μωροί διά Χριστόν,** ἐν δυσαμένη.* Ὅθεν Χριστόν ἱκέτευε,* ἅπαντας λυτρωθῆναι πειραστηρίων καί σωθῆναι,* κατά τό μέγα Αὐτοῦ ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ,* Χριστέ ὁ Θεός,* υἱούς φωτός δι᾽ Αὐτῆς ἀναδείξας,* ἐλέησον ἡμᾶς.

Εἰς τόν Στίχον. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Μῆτερ Ὁσία, ἀπέρριψας* διά τήν ὄντως ζωήν,* τήν ζωήν τήν πρόσκαιρον,* καταφρονήσασα ἅπαντα·* κόσμου τήν δόξαν,* τρυφῆς ἀπόλαυσιν,* τιμήν ἀνθρώπων,* πᾶσαν τερπνότητα·* διό προσέδραμες* τῷ Κυρίῳ φέρουσα τόν σόν σταυρόν,* Τοῦτον ἀγαπήσασα,* Ταρσώ ἀξιάγαστε.

Στ. *Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι καί εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Ἡ βιοτή Σου εὐάρεστος,* διό Χριστός ὁ Θεός,* ταύτην ἐπεβράβευσεν* θείοις χαρίσμασι·* τοῦ βλέπειν, Μῆτερ, χώρου ἐπέκεινα* καί τοῦ κινεῖσθαι* ἐκτός τοῦ σώματος.* Ὅθεν πρός τήν κάραν σου* τήν εὐωδιάζουσαν πάντες πιστῶς* σπεύδομεν, αἰτούμενοι* χάριν καί ἔλεος.

Στ. *Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου καί κατηύθυνε τά διαβήματά μου.*

Μῆτερ, Ὁσίων ὁ ὅμιλος,* τῶν τε Σαλῶν ὁ χορός* καί Δικαίων ὁμήγυρις,* πάντων τῶν Ἁγίων τε* χοροί εὐφραίνονται·* ἐν οὐρανοῖς μέν Χριστός σέ ἐδόξασεν,* ἐπί τῆς γῆς δέ πιστοί γεραίρουσι.* Ὄντως ἱερώτατον* καί ἐπαίνου ἄξιον τό γεγονός,* ὅ τιμῶμεν σήμερον,* ἡμέραν σήν γενέθλιον.

Δόξα. Ἦχος πλ. β΄.

Ἐπέφανεν σήμερον ἔαρ σωτήριον* καί ἑορτή χαρμόσυνος,* Ταρσῶς τῆς μακαρίας* ἡμέρα ἡ γενέθλιος.* Αὕτη γάρ καλῶς ἀγωνισαμένη,* ὁσιακῶς τόν βίον ἐξεμέτρησεν·* καί νῦν ὡς ἥλιος τηλαυγής,* τάς τῆς χάριτος ἀκτῖνας ἐκπέμπει,* πᾶσαν πειρασμικήν* διαλύουσαν σκοτόμαιναν.* Αὐτῇ πιστοί βοήσωμεν·* μή διαλείπῃς, Μῆτερ,* ὑπέρ ἡμῶν πρεσβεύειν πρός Κύριον,* ἐν εἰρήνῃ ἡμᾶς τόν βίον ἐκτελέσαι* καί Παραδείσου τυχεῖν τῆς ἀνέσεως.

Καί νῦν. Θεοτοκίον.

Ἀρχαγγελικόν λόγον ὑπεδέξω* καί Χερουβικός θρόνος ἀνεδείχθης* καί ἐν ἀγκάλαις Σου ἐβάστασας, Θεοτόκε,* τήν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἐν ὑπαίθρῳ ἀσκήσας,*
ὥσπερ στρουθίον μονώτατον,*
ἐν τῷ τῆς σαλότητος, Μῆτερ,* τῷ σταυρῷ ἐκαθήλωσας*
σόν σῶμα διά βίου, βιοτήν* προκρίνασα τήν ἔξη χον, Σεμνή·* διό τῶν θείων ἠξιώθης δωρεῶν,*
Ταρσώ Ὁσία
ἀξιάγαστε.* Δόξα οὖν τῷ σέ δοξάσαντι Χριστῷ,* δ όξα τῷ σέ στεφανώσαντι,*
δόξα τῷ ἐν ἐσχάτοις τοῖς καιροῖς,* νέαν Ἁγίαν ἀν αδείξαντι.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Δεδοξασμένη ὑπάρχεις* ἐν γενεαῖς γενεῶν,* Παρθενομῆτορ Κόρη,* Θεοτόκε Μαρία,* τοῦ κόσμου προστασία, τεκοῦσα σαρκί,* τόν Υἱόν τοῦ ἀνάρχου Πατρός* καί συναΐδιον Πνε ύματι ἀληθῶς·* Ὅν ἱκέτευε σωθῆναι ἡμᾶς.

Ἀπόλυσις.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

Ὡς παρρησίας λαβοῦσα τήν χάριν,*
παρά τοῦ πάντων χορηγοῦ καί δοτῆρος,*

ὑπέρ ἡμῶν τῶν δούλων σου δέησιν ἐκτελεῖς,* πᾶσι τοῖς προστρέχουσι* πίστει τῇ σκέπῃ σου, Μῆτερ,* καί εὐλαβῶς προσψαύ-ουσι* τῆς σῆς Κάρας τήν θήκην.* Διό πρός Κύριον πρέσβειρα ταχεῖα* καλεῖσαι, Ὁσία* Ταρσώ, ἀξιάγαστε.

Δόξα. Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Οὐ σιωπήσομεν ποτέ Θεοτόκε,* τοῦ εὐχαρίστως ἀνυμνεῖν ἐκ καρδίας,* τά Σά ἐλέη Δέσποινα οἱ δοῦλοί Σου,* κράζοντες καί λέγοντες·* Παναγία Παρθένε,* πρόφθασον καί λύτρωσαι* ἐξ ἐχθρῶν ἀοράτων* καί ἀναγκῶν καί πάσης ἀπειλῆς·* Σύ γάρ ὑπάρχεις* ἡμῶν ἡ ἀντίληψις.

Μετά τήν β' Στιχολογίαν, Κάθισμα. Ἦχος α'. Τόν τάφον Σου, Σωτήρ.

Ὁ πάντων Βασιλεύς,* ὁ εὐωδίᾳ τιμήσας* σά Λείψανα, σεμνή,* οὐρανόθεν μηνύει* τήν σήν ἁγιότητα·* διό πάντες προστρέχομεν* τοῦ ἀσπάσασθαι* χαίροντες ταῦτα καί νόσων* ἀπολύτρωσιν* λαβεῖν, τυχεῖν τε ἐλέους,* λιταῖς καί πρεσβείαις σου.

Δόξα. Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Μαρία τό σεπτόν* τοῦ Δεσπότου δοχεῖον,* ἀνάστησον ἡμᾶς,* πεπτωκότας εἰς χάος,* δεινῆς ἀπογνώσεως* καί πταισμάτων καί θλίψεων.

* Σύ γάρ πέφυκας* ἁμαρτωλῶν σωτηρία* καί βοήθεια* καί κραταιά προστασία* καί σώζεις τούς δούλους Σου.

Μετά τόν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.

Τόν Χριστόν ἀγαπήσασα παντελῶς,* ὑπακούουσα, Μῆτερ Ταρσώ σεμνή,* ταῖς Τούτου ἐντεύξεσιν,* βίον ἅγιον ἤνυσας* καί ἐπιπλάστῳ μωρίᾳ* Σατάν καταβέβληκας,* κενοδοξίας πάθος* φυγοῦσα πανώλεθρον·* ὅθεν καί θαυμάτων* δοξασθεῖσα πηγάζεις* ἰάματα χάριτι καί ἰᾶσαι τούς πάσχοντας,* τούς τῇ σῇ Κάρᾳ προστρέχοντας.* Διό πρέσβευε Χριστῶ τῷ Θεῷ* τῶν πταίσματων ἄφεσιν δωρήσασθαι,*τοῖς ἑορτάζουσι πόθῳ* τήν ἁγίαν μνήμην Σου.

Δόξα. Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Τήν ψυχήν μου, Παρθένε, τήν ταπεινήν,* τήν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν,* νῦν ὡς ἀκυβέρνητον* ποντουμένην τῷ κλύδωνι,* ἁμαρτιῶν τῷ φόρτῳ φανεῖσαν ὑπέραντλον* καί εἰς πυθμένα Ἅδου ἐλθεῖν κινδυνεύουσαν,* φθάσον, Θεοτόκε,* τῇ θερμῇ Σου πρεσβείᾳ,* γαλήνην παρέχουσα·* εἰς λιμένα Σου ἔδραμον,* Θεοτόκε βοήθει μοι·* πρέσβευε τῷ Σῷ Υἱῷ καί Θεῷ,*τῶν πταισμάτων ἄ

φεσιν δοθῆναί μοι·* Σέ γάρ ἔχω ἐλπίδα* ὁ ἀνάξιος δοῦλος Σου.

Οἱ Ἀναβαθμοί· τό α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου.

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς λθ΄. *Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι καί εἰσήκουσε τῆς δεήσεώς μου.* (λθ΄ 2).

Στ. *Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου καί κατεύθυνε τά διαβήματά μου.* (λθ΄ 3).

Εὐαγγέλιον ἐκ τοῦ κατά Ματθαῖον (Κεφ. κε΄1-13).

Εἶπεν ὁ Κύριος τήν παραβολήν ταύτην. Ὁμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τάς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δέ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καί αἱ πέντε μωραί. Αἵτινες μωραί λαβοῦσαι τάς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ᾿ ἑαυτῶν ἔλαιον· αἱ δέ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετά τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δέ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καί ἐκάθευδον. Μέσης δέ νυκτός κραυγή γέγονεν· ἰδού ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καί ἐκόσμησαν τάς λαμπάδας αὐτῶν. Αἱ δέ μωραί ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δέ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσει ἡμῖν καί ὑμῖν· πορεύεσθε δέ μᾶλλον πρός τούς πωλοῦντας καί ἀγοράσατε ἑαυταῖς.

Ἀπερχομένων δέ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καί αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τούς γάμους καί ἐκλείσθη ἡ θύρα. Ὕστερον δέ ἔρχονται καί αἱ λοιπαί παρθένοι λέγουσαι· κύριε κύριε, ἄνοιξον ἡμῖν. Ὁ δέ ἀποκριθείς εἶπεν· ἀμήν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τήν ἡμέραν, οὐδέ τήν ὥραν, ἐν ᾗ ὁ υἱός τοῦ ἀνθρώπου ἔρχεται.

Ὁ Ν΄ (50) Ψαλμός.

Δόξα. Ταῖς τῆς Σῆς Ὁσίας...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου ...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με, ὁ Θεὸς...*

Λαμπρῶς συγκαλεῖται ἡμῶν,*
Ταρσῶς τῆς μακαρίας* ἡ ἐτήσιος πανήγυρις·*
θεαρέστως γάρ βιώσασα,*
παρά Κυρίου πλουσίαν* τήν τῶν θαυμάτων χάριν
ἔλαβεν* καί προθύμως σπεύδει εἰς ἐπίσκεψιν,*
τῶν τοῦ ἐλέους αὐτῆς δεομένων.* Αὐτῇ οὖν,*
ὡς παρρησίαν πρός Κύριον κεκτημένην,*
πιστοί βοήσωμεν·* πρόφθασον, Μῆτερ,*
καί ταῖς λιταῖς σου ἡμᾶς ἐλέησον.

Οἱ Κανόνες· τῆς Θεοτόκου καί τῆς Ὁσίας, ἐγκωμιαστικός καί ἱκετευτικός, οὗ ἡ ἀκροστιχίς· *ΤΑΡΣΩ ΥΜΝΗΣΘΩ Η ΤΗΣ ΚΕΡΑΤΕΑΣ. ΑΝΤΩΝΙΟΥ.*

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Τήν νέαν Ὁσίαν τήν τοῦ Χριστοῦ,* Μονῆς Κερατέας* τόν ἀτίμητον θησαυρόν,* τήν ἐν τῷ σαλότητος σταδίῳ* ἀσκηθεῖσαν* ἐν πόθῳ τιμήσωμεν.

Ἁγίων ἐδείχθης ἐν οὐρανῷ* συνόμιλος, Μῆτερ,* δι' ἀσκήσεως ἐπί γῆς* καί κακοπαθείας ἀκροτάτης* ἐν τῷ ὑπαίθρῳ,* ἐν ψύχει καί καύματι.

Ῥοῇ τῶν δακρύων σου συνεχεῖ,* νηστείᾳ, ἀγρυπνίᾳ,* ψευδαδέλφων ταῖς προσβολαῖς* καί τοῦ διαβόλου τῆς κακίας* τῶν ἐπιθέσεων, πόλον ἐκέρδισας.

Δόξα.

Σωθῆναι ποθοῦντες πάντες ἡμεῖς,* τῶν τοῦ ἀλλοτρίου* ἐπιθέσεων πονηρῶν,* τάς θεοδέκτους ἐκζητοῦμεν,* πρός τόν Δεσπότην πρεσβείας σου, πάνσεμνε.

Καί νῦν. Θεοτοκίον.

Ὡράϊσμα πάνσεπτον καί τιμή* Μονῆς Κερατέας* ἐντυγχάνεις, Μῆτερ ἡμῶν,* θεσπέσιε λειμών θείας ἀγάπης,* τῇ Θεοτόκῳ τάς χείρας σου ἔκτεινον.

Ὠ̣δή γ΄. Οὐρανίας ἁψῖδος.

Ὕδωρ βλῦσον μοι,
Μῆτερ,* ἐξ’ οὐρανοῦ τῇ πρεσβείᾳ σου,* ὅπως κατασβέσῃ τήν φλόγαν* ἥ κατακαίει με,* τῆς ἁμαρτίας δεινῶς* καί τῆς ἐπερχομένης* πυρί καταδίκης μου,* φρικτῆς προγεύσεως.

Μολυνθείς ἁμαρτίαις* καί ῥυπαρός εὑρισκόμενος,* ὡς τό κατ’ εἰκόνα μολύνας* πολυειδέστατα,* σπεύδω αἰτήσασθαι* τήν πρός Χριστόν σήν πρεσβείαν,*
ὅπως καθαρθήσομαι* κἀγώ ὁ πολύκλαυστος.

Δόξα.

Ἡμαρτηκότων,ὦ Μῆτερ,* τοῦ Κυρίου ἐνώπιον,* αἰτούμεθα ἐλέους πρεσβείαις* ταῖς σαῖς δεόμενοι·* μή παύεις Τοῦτον θερμῶς* ὑπέρ ἡμῶν εὐμενίζειν,*
ὅπως λυτρωθείημεν* δεινῆς κολάσεως.

Καί νῦν. Θεοτοκίον.

Σῶσαι πάντας, Παρθένε,* τούς πρός Σέ καταφεύγοντας,*
πρεσβείαν δεχομένη Ὁσίας,*
ἥ ἱκετεύει Σε·* μή παύεις, Δέσποινα,* καθικετεύειν Κυρίῳ,*
βελῶν τῶν τοῦ ἀλάστορος* ἡμᾶς λυτρώσασθαι.

Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Τῶν νοουμένων τό τερπνὸν προορῶσα,* τῶν ὁρωμένων τό ῥευστόν παριδοῦσα,* ταῖς θεϊκαῖς ὠχύρωσας ἐλπίσι τόν νοῦν·* ὅθεν πρός τό στάδιον,* τῆς ἀσκήσεως, Μῆτερ,* χαίρουσα εἰσέδραμες* καί τόν ὄφιν καθεῖλες·* καί ἀνεπλέξω νίκης εὐπρεπῆ,* Ταρσώ Ὁσία,* καί ἄφθαρτον στέφανον.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Ἐπί σταυροῦ Σε, Δυνατέ, κρεμασθέντα,* κατανοοῦσα ἡ Ἀμνάς καί Παρθένος,* ὀδυρομένη ἔλεγε δακρύουσα·* τίς Σοῦ ἡ ἀπόρρητος* συγκατάβασις, Λόγε;* Πῶς Σε νῦν κατέκρινεν,* ὁ κατάκριτος δῆμος,* τόν πάντας κρῖναι μέλλοντα Θεόν;* Ὑμνολογῶ Σου* τό ἄφατον ἔλεος.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε.

Θεραπείας ἀξίωσον,* τόν συντετριμμένον, Μῆτερ, ἱκέτην Σου,* καί εὐχαῖς Σου ἐπανάφερε,* εἰς τοῦ κάλλους τοῦ ἀρχαίου τήν τερπνότητα.

Ὡραιότητος θείας,* οὐρανίου τε μενούσης μακαριότητος,* νοσταλγός τυγχάνω ὁ ἔκπτωτος·* διό με ταῖς πρεσβείαις σου ἐλέησον.

Ἡμᾶς πάντας, ὦ Μῆτερ,* τούς τῇ σκέπῃ σου σπεύδοντας,*

οὐρανίου χαρᾶς κέρασον,*
ὡς τῶν Ὁσίων γενομένη ὁμόχορος.

Δόξα.

Τῇ αἰτήσει καμπτομένη* συμπαθῶς τῶν πιστῶς δεομένων σου,* Ταρσὼ Μῆτερ ἀξιάγαστε,* δίδου ἅπασι χαράν τήν ἀναφαίρετον.

Καί νῦν. Θεοτοκίον.

Ἡμᾶς πάντας ἐλέησον,* γένος τῶν ἀνθρώπων, Μῆτερ Ἀπείρανδρε,* Παραδείσου δέ οἰκίσεως,* τῇ πρεσβείᾳ τῆς Ὁσίας καταξίωσον.

ᾨδή ε΄. Φώτισον ἡμᾶς.

Σῶτερ μανικῶς* ἡ Ταρσὼ Σέ ἠγάπησεν,* ὥσπε ρ γνήσιος ἐραστής μανικός,* διό καί ἐν ἀσκήσει* τήν βιοτήν αὐτῆς ἠνάλωσεν.

Κώμης καί Μονῆς* Κερατέας πέλεις, ἔνδοξε,* πολιοῦχος, Ἄνδρου γόνος ὁ λαμπρός,* καί ἀρετῶν θεοειδῶν θεῖον ἐκσφράγισμα.

Δόξα.

Εὐσεβῶς πάντων ἡμῶν* γεραιρόντων τήν ἀοίδημον* καί σεπτήν σου μνήμ ην, Μῆτερ ἀγαθή,* μή ἐπιλάθου σαῖς πρός Κύριον δεήσεσι.

Καί νῦν. Θεοτοκίον.

Ῥύου τούς πιστῶς* Σέ τιμῶντας, θεία Δέσποινα,* ὅτι πάντων ἡμῶν πέλεις ὁδηγός* καί μεσίτρια πρ ός Κύριον καί πρόμαχος.

ᾨδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Ἀλέξανδρον* ἐν τῷ τάφῳ ὡς εἶδεν,* ἐφιλοσόφησεν ἐπί τοῦ τῆς ζωῆς προσκαίρου,* θεῖος Σισώης· διό ἡ μακαρία,* τῶν ἡδονῶν τῶν προσκαίρων προέκρινε,* τῶν Παραδείσου ἀγαθῶν,* ἅ δι᾽ ἀσκήσεως ὡς ἔξηχος ἔτυχεν.

Ταχέως νῦν,* τά τῆς ψυχῆς μου ἰάτρευσον τραύματα,* ταῖς σαῖς λιταῖς, Ὁσία, πρός τόν Λόγον* καί ἐκ παθῶν καί μολυσμάτων ἰλύος* καί βδελυ ρῶν με ἀπάλλαξον πράξεων* καί δυσωδίας τῶν παθῶν* καί Παρακλήτου εὐωδίαν παράσχου μοι.

Δόξα.

Ἐλπίζοντές* σοι τά νῦν προστρέχομεν,* ὡς ἐν πηγῇ θεοπειθῶν αἰτημάτων* καί Σοῦ δεόμε θα, Μῆτερ, μή παύῃς,* ὑπέρ ἡμῶν ἱκετεύειν τόν Κτίσαντα,* ἵνα ἐπομβρήσῃ γλυκασμόν* καί ἀθανάτου ζωῆς θ εῖα νάματα.

Καί νῦν. Θεοτοκίον.

Αἰνοῦμεν Σε* καί εὐλογοῦμεν, Δέσποινα,* καί αἰτούμεθα λιτάς Σου τάς ἁγίας,* ἵνα παθῶν καί κινδύνων ῥυσθῶμ εν* καί πρός τήν ἄνω ζωήν καταντήσωμεν,* ἔνθα χαρά ἀληθινή,*ἐν τῷ φωτί τοῦ Υἱοῦ Σου τό ἀνέσπερον.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐν ἐσχάτοις τοῖς καιροῖς,* Μῆτερ, ἐφάνης,* τῆς Τριάδος τῆς Σεπτῆς* κατοικητήριον, Ταρσώ,* ὅθεν σοί κράζομεν λέγοντες·* χαίροις ἡ νέα* Κυρί ου θεράπαινα.

Ὁ Οἶκος.

Τόν ὑπέρ τῆς ἡμῶν σωτηρίας τυθέντα Κύριον, Χριστόν τόν Θεόν, ποθοῦσα Ταρσώ ἡ μακαρία, ἔσπευσε θανεῖν τῶν ἐν τῷ κόσμῳ ἡδέων ὑπέρ Αὐτ οῦ,πόθον μέγαν τε καί θεῖον ἐν τῇ καρδίᾳ σχοῦσ α.Αὐτήν οὖν καί ἡμεῖς ὡς θερμήν προστάτιδα ἀνυ μνήσωμεν, τήν ὡς ῥόδον ἐν χειμῶνι φανεῖσαν καί ὡς φῶς ἐν τῷ σκότει ἀναλάμψασαν, αὐτῇ κράζοντες καί λέγοντες· χαίροις ἡ νέα Κυρίου θεράπαινα.

Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς Ὁσίας Ταρσῶς τῆς ἐν Κερατέᾳ, τῆς διά Χριστόν Σαλῆς (+ 1989).

Στίχοι·

*Παύλου τούς λόγους ἐν σαρκί Ταρσώ φέρει,*

*«ἡμεῖς μωροί διά Χριστόν» ἀσκητικῶς βοώσα.*

Ταῖς αὐτῆς ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.

Ὠδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Σῶζε τούς ἐν πίστει* προσπίπτοντας, ὦ Μῆτερ,* τῇ σῇ πρεσβείᾳ καί χάριτι, πάνσεμνε·* Χριστῷ συμβασιλεύεις* γάρ ἐν Παραδείσῳ,* διό ἀνακράζομεν·* ὁ
τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Μνήσθητι τῆς φωνῆς μου,* ἥν δέχου ὡς θυσίαν* καί ὡς εὐῶδες, τερπνόν τε θυμίαμα·* παθῶν δέ ἀκαθάρτων* μάκρυνον δυσω δίαν,* ἀπό τοῦ δούλου σου ψάλλοντος·*
ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Δόξα.

Ὁ Κύριος τῶν πάντων,* ἐδέχθη μαρτυρίου* τήν πρόθεσιν Ταρσῶς τῆς ψυχ ῆς,* τῆς ἐν ἐσχάτοις χρόνοις* σημείοις κηρυχθεῖσαν,* διό ἐκβοῶμεν αὐτῇ·*
ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Καί νῦν. Θεοτοκίον.

Ναέ τοῦ Ζωοδότου,* ὕμνον Σοί Θεοτόκε,* προσφέρομεν ἐντόνως κραυγάζοντες·*

πύλην τῆς μετανοίας* ὑπάνοιξον, Παρθένε,* τοῖς βοῶσι τῷ τόκῳ Σου·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Ὠδή η΄. Τόν Βασιλέα.

Ἡμεῖς, ὦ Μῆτερ,* κηρύττομεν σούς ἀγῶνας,* σεπτή Ταρσώ·* ὑπέμεινας γάρ θλίψεις* ἐν τῇ ὑπαίθρῳ,* διά Χριστόν τόν Κτίστην.

Σωφροσύνην,* ὦ Μῆτερ, τοῖς σέ τιμῶσι,* χορήγει σαῖς πρεσβείαις πρός τόν Λόγον,* Ὅν ὑπερυψοῦμεν,* εἰς πάντας τούς αἰῶνας.

Αὔγασον, Μῆτερ,* θείαις αὐγαῖς τήν ψυχήν μου·* ἐσκοτισμένη γάρ ὑπάρχει ἁμαρτίᾳ,* σῇ ἱκεσίᾳ* πρός Κύριον τῆς δόξης.

Δόξα.

Νικῆσαι θέλων* Βελίαρ τάς παγίδας,* ἅς καθ' ἡμέραν πρό ποδῶν μου ἐφαπλώνει,* τήν σήν ἐπικαλοῦμαι* θερμήν, Μῆτερ, πρεσβείαν.

Καί νῦν. Θεοτοκίον.

Τιμιωτέρα* τῶν Χερουβείμ ὑπάρχεις* καί ἐνδοξοτέρα τῶν Σεραφείμ, Μαρία,* ὡς ἡ τοῦ Κυρίου* Θεοῦ ἡμῶν Μητέρα.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Ὡράϊσμα καί κλέος* καί ἄνθος ἐρημίας,* δι᾽ ἐγκρατείας ἐφάνης καί ἀσκήσεως,* Ταρσώ Μῆτερ ἀγαθή,*
καί ἀσκουμένων ὑπόδειγμα καί τύπος.

Ναός τοῦ Παρακλήτου,* δι᾽ ἀσκήσεως ἐγένου* καί ἀρετῶν καταγώγιον,* Μῆτερ σεπτή,* ὡς τοῦ Ἀνδρέου μιμητής* καί Συμεών τοῦ θείου συνέκδ ημος.

Ἰσχύει Παρακλήτου* Ταρσώ ἐγεγόνεις,* πειραζομένων ἀλείπτης καί μέγας φωστήρ,*
τῶν ἐν σαλότητι Ἁγίων·* διό τιμῶμεν Σε.

Δόξα.

Ὁμότροπος Ὁσίων* πέλεις, Ὁσία Μῆτερ,* καί ἀσκητῶν συνοδίτης,* Χριστοῦ μιμητής*
καί μοναζόντων κοσμήτωρ καί ἐγκαλλώπισμα.

Καί νῦν. Θεοτοκίον.

Ὑμνοῦμεν,
Θεοτόκε,* τό κάλλος τῆς Σῆς δόξης* καί τόν
ἐκ Σοῦ γεννηθέντα δοξάζομεν* καί σύν Ἁγίων χο ρείαις Σέ μεγαλύνομεν.

Ἐξαποστειλάριον. Ἐπεσκέψατο ἡμᾶς.

Ἐνασκήσασα καλῶς,* ἐν Κερατέᾳ,* τῇ ἀσθενείᾳ τῆς σαρκός* κατηγωνίσω τόν ἐχθρόν* καί ὁσιότητος στέφανον* ἐδέξω παρά Κυρίου·* διό σε ἀξίως τιμῶμεν.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Ἄνδρος ἡ ἔνδοξος νῆσος* χορεύει σήμερον,* τῇ εὐκλεεῖ σου μνήμῃ,* Ταρσῶ Ὁσίων ἡ δόξα·* μέλπει δέ σούς ἀγῶνας τούς ἱερούς,* πᾶσα πιστῶν ἡ ὁμήγυρις·* δι᾽ ὧν καθεῖλες τό θρᾶσος τό τοῦ ἐχθροῦ* καί Χριστ όν σαρκί ἐδόξασας.

Ὁσίων, Μῆτερ, ἐδείχθης* καί Ἀγγέλων σύσκηνος,* ὅτε τῷ θείῳ πόθῳ* τῆς Οὐρανῶν Βασιλείας,* τρωθεῖσα τήν καρδίαν πᾶσαν τιμήν* ἐν τῷ κόσμῳ κατέλιπες* καί τῷ σα λότητος σκάμματι τῷ φρικτῷ,* ἐνετάγης καί ἠγώνι σαι. _

Τοῖς σῆς ἀσκήσεως ἄθλοις* ἀνδραγαθείσασα,* ἀξίως κατετάγης* εἰς χορόν τῶν Ὁσίων,* Σαλῶν τε τόν τοιοῦτον, ἔνθα χαρᾶς* τῆς ἀλήκτου ἀπολαύουσα,* Ταρσῶ Ὁσία,

αἰτοῦμεν πάντων ἡμῶν,* τῶν τιμώντων σε μνημόνευε.

Ταύτην τήν Μάνδραν, Ὁσία,* ἐν ᾗ ἠγώνησαι,* σκέπε καί φρούρει, Μῆτερ,* πειρασμῶν καί κινδύνων* ἀπάλλαξον ἐν τάχει καί ἀρετῶν* ἐ ργαστήριον τίμιον* ταύτην ἀνάδειξον· ἵνα τό τοῦ Χριστοῦ* ἐν αὐτῇ τιμᾶται ὄνομα.

Δόξα. Ἦχος πλ. α΄.

Ἀσκητικῶς ἀγωνισαμένη,* τοῦ ἀλλάστορος καθεῖλες τό φρύαγμα,* διά τῆς ἄνωθεν δυνάμεως,* τῆς τοῦ Πνεύματος, ἀξιάγαστε.* Ἀπτόητον γάρ τό φρόνημα,* ἐν τῷ καιρῷ τῷ τῶν ἀγώνων ἐπεδείξω,* καλύβης προκρίνας* εὐαρεστωτέραν Θεῷ τήν πτω χείαν* ἤ κόσμου τήν τιμήν τε καί εὐπρέπειαν.* Διό ἁγιότητος ἐδέχθης στέφανον* καί αἰωνίου δόξης ἠξίωσαι,* Ταρσώ ἀξιομακάριστε·* ὅθεν πρεσβεύεις ὑπέρ ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις,* Θεοτόκε Παρθένε·* διά γάρ τοῦ ἐκ Σοῦ σαρκωθέντος,* ὁ ᾅδης ἠχμαλώτισται,* ὁ Ἀδάμ ἀνακέκληται,* ἡ κατάρα νενέκρωται,* ἡ Εὔα ἠλευθέρωται,* ὁ θάνατος τεθανάτωται* καιί ἡμεῖς ἐζωοποιήθημεν.* Διό ἀνυμνοῦντες βοῶμεν·* εὐλογητός Χριστός ὁ Θεός ἡμῶν,* ὁ οὕτως εὐδοκήσας· δόξα Σοι.

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

Μεγαλυνάριον.

Χαίροις τῶν Ὁσίων ἡ καλλονή,* Ταρσώ θεοφόρε,* καί σαλότητος στολισμός·* χαίροις Ὀρθοδόξου πληρώματος προστάτις,* Ἑλλάδος δέ ἁπάσης* εὐχαῖς σου πρόμαχος.

Δίστιχον·

*Δέχου τόν ὕμνον τοῦτον, Ταρσώ μακαρία,*

*ὅν ὑπέρ πταισμάτων, Ἀντώνιος προσφέρει.*

